Name: ________________________

**ROMANS: GREEK TRANSLATIONS**
Assignment 7
Rom 4:17–25

## Rom 4:17–25

**4:17** καθὼς γέγραπται ὅτι *πατέρα πολλῶν ἐθνῶν τέθεικά σε,*

______________________________________________

κατέναντι οὗ ἐπίστευσεν θεοῦ τοῦ ζῳοποιοῦντος τοὺς νεκροὺς

______________________________________________

καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα. **4:18** Ὃς παρʼ ἐλπίδα ἐπʼ

______________________________________________

ἐλπίδι ἐπίστευσεν εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν

______________________________________________

κατὰ τὸ εἰρημένον· *οὕτως ἔσται τὸ σπέρμα σου,* **4:19** καὶ μὴ

______________________________________________

ἀσθενήσας τῇ πίστει κατενόησεν τὸ ἑαυτοῦ σῶμα [ἤδη]

______________________________________________

νενεκρωμένον, ἑκατονταετής που ὑπάρχων, καὶ τὴν νέκρωσιν

______________________________________________

τῆς μήτρας Σάρρας· **4:20** εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ θεοῦ οὐ

______________________________________________

διεκρίθη τῇ ἀπιστίᾳ ἀλλʼ ἐνεδυναμώθη τῇ πίστει, δοὺς δόξαν τῷ

______________________________________________

θεῷ **4:21** καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται δυνατός ἐστιν

______________________________________________

καὶ ποιῆσαι. **4:22** διὸ [καὶ] *ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.*

---

**4:23** Οὐκ ἐγράφη δὲ δι᾽ αὐτὸν μόνον ὅτι *ἐλογίσθη αὐτῷ*

---

**4:24** ἀλλὰ καὶ δι᾽ ἡμᾶς, οἷς μέλλει λογίζεσθαι, τοῖς πιστεύουσιν

---

ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν κύριον ἡμῶν ἐκ νεκρῶν, **4:25** ὃς

---

παρεδόθη διὰ τὰ παραπτώματα ἡμῶν καὶ ἠγέρθη διὰ τὴν

---

δικαίωσιν ἡμῶν.

---